K Br
2628
KBr 2628

Gaisford Prize—Greek Prose

1894

# ΑΡΙΣΤΟΦΑΝΗΣ

ἢ περὶ τοῦ γελοίου

*PLATONIC DIALOGUE*

BY

HERBERT SIDEBOTHAM

SCHOLAR OF BALLIOL COLLEGE

Oxford

B. H. BLACKWELL

50 & 51 BROAD STREET

1894

Pr. S.

Digitized by Google

## ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ

ΑΡΙΣΤΟΦΑΝΗΣ

ΕΥΡΙΠΙΔΗΣ

ΣΩΚΡΑΤΗΣ.

Time. The City Dionysia: Evening of the Performance of the 'Clouds.'

BIBLIOTHEK DER CANTONAL= LEHR= ANSTALTEN ZU ZÜRICH.

Digitized by Google

Δείλη μὲν γὰρ ἦν καὶ περιπατῶν δὴ ἐτύγχανον ἐν τῇ ἀγορᾷ βουλόμενος θεάσασθαι τὸν τῶν ξένων ὄχλον καὶ πλῆθος· ἤγετο γὰρ τὰ Διονύσια. καὶ πολλ' ἀξιοθέατα μὲν εἶδον ἀξιομνημόνευτα δ' οὔ· ἀναμέστη γὰρ πᾶσα ἡ ἀγορὰ θαυματοποιῶν τε καὶ κυβιστώντων ἐς μαχαίρας καὶ ἐπὶ τροχοῦ δινουμένων· βόμβος δέ τις ἀσαφὴς ἦν διαλεγομένων τε καὶ γελώντων σφόδρα ἡδὺς ἀκούειν. οὕτως δὴ ὥσπερ ἐν ἀλλοτρίᾳ πόλει πλανώμενος, τέως μὲν οὐδένα εὗρον τῶν γνωρίμων, ἔπειτα δὲ σμικρὸν ἐμοῦ πρόσθεν τὸν Εὐριπίδην εἶδον πάνυ συντόνως βαδίζοντα, καὶ τὴν ὄψιν εἰς τὴν γῆν ἀτενῶς ἀπερειδόμενον· καὶ ἐγὼ προσελθὼν αὐτῷ, Οὗτος σύ, ἔφην, ἵνα τοῖς σοῖς σὲ ῥήμασιν προσείπω, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις; ὁ δὲ μεταστραφείς, Ἐτεόν, ὦ Σώκρατες, ἔφη, σκώπτειν ἆρ' οἷός τ' ἔτι εἶ; ἀλλ' οὖν σέ γε μέντοι, ὦ φίλτατε Σώκρατες, ἥκιστα ἔδει τοὺς ἐμοὺς τρόπους μέμψασθαι· δυσχεραίνω γὰρ ἐφ' οἷς τήμερον πέπονθας ἐν ταῖς κωμῳδίαις· Τὰ ποῖα; ἦν δ' ἐγώ. Ὁποῖα; ὡς ἀεὶ μέν, ἦ δ' ὅς, ἀκκίζει, νῦν δ' ἐπὶ θἄτερα ἢ κόρη διαθρυπτόμενος τοῦτό με ἤρου, ἐπεὶ ἡ μὲν βουλομένη καὶ δὶς ἀκοῦσαι τοῦ ἐρῶντος ἐγκώμιόν τι τῷ κάλλει λέγοντος ἐπανερωτᾷ δὴ ὡς ὑπόκωφος

Digitized by Google

γενομένη, σὺ δ' οἶμαι ὀνείδη τε καὶ κακὰ σαυτῷ ἐπανανεωσόμενος. τοῖς δὲ σεμνοτάτοις τῶν ἀνθρωπείων ἀεὶ ξυνακολουθεῖ ὁ γέλως, τῇ τε φιλοσοφίᾳ παρὰ σοὶ καὶ Πρωταγόρᾳ καὶ τῇ παρ' ἡμῖν τραγῳδίᾳ· ἄκων δ' ὅμως ἐξεγέλασα καὶ αὐτός. Πάνδεινος ἄρ' ἦν δαίμων, ἔφην, ὁ γέλως, ὅς γε ἄκοντά σε βιάζεται, καὶ παραπλησίαν τῷ Ἔρωτι τὴν δύναμιν κεκτημένος· ἀλλὰ θορύβου δὴ ἀκούω ὡς βακχευόντων τινῶν καὶ μεθυόντων. καὶ ἐνταῦθα χορός τις εἰς τὴν ἀγορὰν ἐπεισκωμάζει ἐν δὲ μέσῳ φαλακρός τις ἦν νεανίας. κἀγὼ γνοὺς τὸν Ἀριστοφάνη προσέδραμον αὐτῷ, καὶ προσκυνήσας, Ὦναξ μέγιστε, ἔφην, εἰπέ μοι ὁποῖός τις ὁ θεός ἐστιν ὅς σ' εἴληχε καὶ ὁποίᾳ δυνάμει ἅπαντας βιάζεται καὶ βουλομένους καὶ μὴ τά τε χείλη ἀνιεὶς καὶ διασείων τὰς πλευράς; ὁ δέ, Βούλει οὖν τῶν τοῦ θεοῦ χορευτῶν εἶναι; ἐγὼ δ', Οὐκ ἂν ἐπίσχοις, ἔφην, ἔστ' ἂν καὶ τὰ λοιπὰ προσμάθω; ὁ δέ, Βαβαί, ἔφη, μῶν τραγικὸς εἶ, ὦ Σώκρατες; Οὐδέν γε θαυμαστόν, ἦν δ' ἐγώ, ἐπεὶ τραγικῷ τινι ἄρτι ξυνεγιγνόμην· ἀλλὰ ποῦ ἐστιν ἐκεῖνος; ἀλλὰ Οὗτος, ὦ Εὐριπίδη, δεῦρο ἐπάνελθε (ἀπῄει γὰρ τὸν Ἀριστοφάνη ἰδών). ὁ δέ, Τί παθών, ἔφη, ὦ Σώκρατες, ἀνεκαλέσω με; Εὑρών γε μήν, ἦν δ' ἐγώ, εἰ μὴ αὐτὸν τὸν γέλωτα ἀλλὰ τὸν γοῦν ἱερέα αὐτοῦ· ὁ δ' Ἀριστοφάνης, Οὐκοῦν πρέπον ἂν εἴη, ἐπειδὴ τρεῖς ἱερεῖς ξυνεληλύθαμεν τῆς τε κωμῳδίας καὶ τῆς τραγῳδίας καὶ τῆς φιλοσοφίας παρ' ἡμᾶς καταλύειν; τοὺς

Digitized by Google

γὰρ χορευτὰς ἑστιῶμεν, καὶ οὔτε πείσεσθε αἰσχρὸν οὐδὲν οὔτ' ἀκούσεσθε· ἑστιάτω οὖν πρῶτον μὲν ἡ κωμῳδία τὴν τραγῳδίαν, ἔπειτα δὲ εἰ βούλει ἡ φιλοσοφία τὰς πρεσβυτέρας θεάς· χρηστὸς μὲν γὰρ εἶ, ὦ Σώκρατες, γελοῖος δὲ καὶ ἄτοπος, ὥστε ξυγγνωστέον μοι εἰ γέλωτι σὲ κατέπασα. ἀναιδὴς γάρ τις ἡ κωμῳδία θεός. οὕτως ἐγὼ μὲν τῇ πομπῇ ἐφεσπόμην βακχεύων τε καὶ ἀναρρίπτων τὰ σκέλη, ὁ δ' Εὐριπίδης σεμνῶς ὄπισθεν ἐβάδιζεν, οἱ δὲ χορευταὶ ᾄδοντές τε καὶ λαμπάδας ἀνασείοντες οὕτω δὴ εἰς τὴν Ἀριστοφάνους ἀφικόμεθα.

Ἐπεὶ δ' οὖν αἱ τράπεζαι ἀφῃρέθησαν, σπείσαντες καὶ τὰ νόμιμα πράξαντες ἠρχόμεθα πίνειν, ὁ δ' Ἀριστοφάνης Ἀλκαίου συμποτικόν τι μέλος ἐντόνως ᾄσας ἄκρατον ἔπινε τὸν οἶνον καί, Ἆρ' οὐ δεινὸν ἂν εἴη τοῦτό γε, ἔφη, εἰ τὴν κωμῳδίαν μίαν οὖσαν πρὸς δύο μαχομένην περιίδοιμι ἄλλως τε καὶ πάνυ λάλω καὶ πιθανὼ θεώ; τὸν μέντοι Διόνυσον ἐπαγαγομένη οὐχ αὕτη γε δειλίαν ὀφλήσει. τοῦ δ' οἴνου οὐχ ὑμῖν φθονῶ εἰ μὴ ἀκράτου μόνον· οὕτως γὰρ οὐκ ἂν εἴη ἐξ ἴσου ἡ μάχη. ἀλλ' ὅμως ἧσσόν τι φοβοῦμαι τὴν φιλοσοφίαν πίνουσάν τε δὴ καὶ εὐωχουμένην, ὠχριῶσαν δὲ μᾶλλον καὶ ἐν κρεμάθραις, ὦ Σώκρατες, ἀνακρεμαμένην καὶ λεπτὴν τὴν φροντίδα ἀναμιγνύουσαν εἰς τὸν ὅμοιον ἀέρα· τότε γὰρ δὴ θαυμασίως ὡς φοβερὰ γίγνεται καὶ ἀμάχητος. τοιγαροῦν θαρρῶν

Digitized by Google

ἂν ἤδη καλὸν τῷ γέλωτι ἐπαίνου στήσαιμι ἀνάθημα· οὗτος γὰρ τοῦ τε Διὸς καὶ τῆς Θαλείας παῖς ὢν μύρια φαίνεται ἀγαθὰ θεούς τε καὶ ἀνθρώπους εὐεργετῶν. πρῶτον μὲν γὰρ τὴν Δήμητρα δακρύουσαν καὶ ἀπολοφυρομένην εἰς βελτίω τρόπον μετέστησε· καίτοι ψευδολογοῦσιν οἱ ποιηταὶ Ἰάμβην φάσκοντες εἶναι ταύτης τῆς μεταβολῆς αἰτίαν· οὐ γὰρ ἐμέ γε μὴ πίθωσιν· πῶς γὰρ εἰκὸς τὴν μὲν τὴν Δήμητοα εἰς γέλωτα μεταβιβάσαι τὸν δὲ ἄνδρα αὐτῆς τὸν Ἴαμβον δῆθεν τὰς Λυκάμβου εἰς ἅμματά τε καὶ βρόχους; ἔπειτα δὲ ἡ Κύπρις οὐκ αὐτῷ τῷ κάλλει πιστεύει, ἀλλ' ὅταν περὶ σπουδαιότερόν γε τινὰ ἔρωτα πραγματεύηται, λέγεται οὐ μόνον τὴν τοῦ κάλλους χάριν ἀμφιέννυσθαι ἀλλὰ καὶ τὴν τοῦ γέλωτος οἷον ἐν προσθήκης μέρει· περὶ δὲ τοῦ Ἔρωτος ὡσαύτως μαρτυρεῖ ὁ Σοφοκλῆς ὡς οὐκ ἐν κόλποις κορῶν, ἐνθάπερ ἐγώ τε καὶ ὁ Εὐριπίδης φιλεῖ ἐννυχεύειν ὁ γέλως, ἀλλ' ἐν μαλακοῖς παρειῶν μειδιάμασιν· θαυμάζω δὲ εἰ μηδέτερος ὑμῶν τὸν τόπον οἶδεν. ἀπεργάζεται δὲ οὗτος ὁ γέλως τὸ τῆς θαλάσσης κάλλος, καθὼς ὅ τ' Αἰσχύλος πρῶτος καὶ ἔπειτα μύριοι ὑμνοῦσι θαλάσσης ἀνήριθμον γέλασμα ἐπαινοῦντες δήπου τὸν γέλωτα—πῶς γὰρ οὔ; τοὺς μέντοι θνητοὺς οὐδεὶς πλείω εὐεργετεῖ· ἔναγχος δ' ἤκουσα Φοίνικός τινος ἐμπόρου λέγοντος ὡς ἐσπλεύσαντές τέ ποτε εἰς τὴν τῶν Κιμμερίων γῆν καὶ ἐκβάντες εὕροιεν νεκροὺς πανταχοῦ κειμένους· θαυμάσαντες οὖν πυνθά-

Digitized by Google

νεσθαι παρὰ τῶν ὁμόρων τὴν αἰτίαν· τοὺς δὲ φάναι ὡς πάλαι ποτ᾽ ἔλθοιεν τραγῳδός τις καὶ φιλόσοφος καὶ ἀναπείσειαν αὐτοὺς ὡς οὐ χρὴ γελᾶν· οὕτω δὲ τὸ τοῦ στόματος τρύπημα καθ᾽ ἑκάστην γενεὰν στενότερον αὐτοῖς γενέσθαι, τέλος δὲ ἀτεχνῶς συμμῦσαι ὥστε ἅπαν τὸ γένος λιμῷ ἀποθανεῖν. ἀλλὰ τί δεῖ μακρηγορεῖν; καὶ γὰρ ὥσπερ Ὅμηρός φησι τὸν Μαχάονα ταῖς τοῦ Πατροκλέους ὠτειλαῖς ὀδυνήφατα φάρμακα πάσσαι σηπεδόνος καὶ εὐλῶν ἀλεξητήρια, οὕτω δὴ ὁ γέλως ἅπασι τοῖς ἀνθρωπείοις· τοῖς μὲν γὰρ λίαν γλυκέσιν οὖσιν πικρότητά τινα ἐνστάζει, τοῖς δ᾽ ἄγαν πικροῖς γλυκύτητα, τὰ δὲ σκληρά τε καὶ τραχέα ἐκλεαίνει, ὥστε πάντα δὴ τοῦ γέλωτος ὥσπερ κεράμεως ὑπὸ χερσὶν ὁμαλῶς καὶ ἐμμελῶς κύκλῳ περιφέρεσθαι. οἷον δὴ τῶν τραγῳδῶν τὸν μὲν Αἰσχύλον ὀγκωδέστερον ὄντα τοῦ δέοντος καὶ παχύτερον κατισχναίνει ὁ γέλως, ὁρῶν δὲ σέ, ὦ Εὐριπίδη, λεπτὸν ὑπὸ τῆς ἀγυμνασίας γιγνόμενον παντοίους ἐξελαύνει δρόμους καὶ ἐξαλίσας ἰσχυρόν τε καὶ ὑγιᾶ οἴκαδε ἀποπέμπει. οὕτως δὲ καὶ περὶ τἆλλα καὶ οὐχ ἥκιστα περὶ τὰ τῆς πόλεως πραγματεύεται. εἰ γὰρ τὸν Περικλέα σχινοκέφαλον Δία μὴ ἀπεκάλεσεν ὁ Κρατῖνος, τίς οἶδεν ὁποῖα ἂν ἔπαθε κακὰ ἡ πόλις ἀντὶ τοῦ Ὀλυμπίου Διὸς τοῦτον τὸν σχινοκέφαλον ἀνταλλαξαμένη; πολλῶν οὖν οὕνεκα τὸν γέλωτα ἐπαινῶ ὡς πλεῖστα τῶν θεῶν τοὺς ἀνθρώπους εὐεργετήσαντα.

Digitized by Google

Ἐγω δὲ ταῦτ᾽ ἀκούσας σφόδρα ἐθαύμαζον τόν τε Ἀριστοφάνη τῆς τῶν λόγων εὐροίας καὶ τὸν θεὸν τῶν εὐεργεσιῶν, καὶ ἐν νῷ εἶχον ἀφοσιοῦσθαι τῷ θεῷ· στρέψας δ᾽ ἐμαυτὸν πρὸς τὸν Εὐριπίδην, Ἆρ᾽ ἔχεις τι, εἶπον, τούτοις ἀντιτάξασθαι, ἢ καὶ σὺ τὴν οὐκ ἀγεννῆ τήνδε λατρείαν τῷ θεῷ λατρεύεις; ὁ δ᾽ ὑπομειδιάσας, Καίπερ σφόδρα, ἦ δ᾽ ὅς, τὴν τοῦ Ἀριστοφάνους εὐέπειαν φοβούμενος, ὅμως ἐξερῶ τὸν ὑπὲρ τῆς τραγῳδίας προσήκοντα λόγον, ἵνα μὴ ἡ τῆς τραγῳδίας Μοῦσα κακῶς ἀπαλλάξηται ὑπὸ φαυλοτέροιν ἡσσημένη τοῦ τε Διονύσου καὶ τοῦ γέλωτος. οὐδὲ μακρὸν ἐκτενῶ τὸν λόγον, οὐδὲ μυθολογήσω ὥσπερ ἐκεῖνος, ἀλλ᾽ ἁπλῷ τῷ λόγῳ χρώμενος διϊσχυρίζομαι ὡς πῆμα μὲν μέγιστον τὸν γέλωτα ἔφηναν οἱ θεοὶ τοῖς ἀνθρώποις, μέγιστον δὲ ἀγαθὸν τὰ δάκρυα. πλημμελῶς δ᾽ οἱ ζωγράφοι τοὺς θεοὺς εὐημεροῦντάς τε καὶ ἄσβεστόν τι γελῶντας γράφουσιν, ἀλλ᾽ ἔδει μᾶλλον δακρύοντας καὶ τῇ τῶν ἀνθρώπων ὕβρει λυπουμένους. τοιγάρτοι οὔ φημι ἀφομοιωτέον εἶναι τῷ θεῷ τὸν εὔθυμόν τε καὶ εὐδαίμονα, ἀλλὰ τοὐναντίον ἤν τις λυπῆται καὶ δακρύῃ ὁρῶν τὰ ἀνθρώπινα τοῦτόν φημι ἐγγύτατα πλησιάζειν τῇ τοῦ θεοῦ οὐσίᾳ. τὸν δὲ γέλωτα οὐ θεὸν νομίζω, ἀλλ᾽ ὅτι μάλιστα ἀνθρώπινόν τι καὶ γεῶδες· διὸ καὶ μάλιστα γελασείοντας ἂν ἴδοις τοὺς ὑπὸ μέθης ἢ ἄλλοθέν ποθεν μωραίνοντας, καὶ ὅσῳ αἴσχιστα ἐστὶ τὰ σκώμματα τοσούτῳ πλεῖστον τὸν γέλωτα αὐτὰ παρέχοντα, ἔστιν

Digitized by Google

δὲ οἷς ὁ γέλως ὥσπερ νόσος τις γέγονεν ὥστε κνησιῶντας ἀεὶ καὶ ψωρῶντας ἁπάντων ὁμοίως καὶ πανταχοῦ αὐτοὺς καταγελᾶν. ὡς δ' ἑνὶ λόγῳ εἰπεῖν, ὁ μὲν γέλως μάλιστα λωβᾶται τὰ ἀνθρώπινα ἐφαπτόμενός τε τῶν εἰς τὸ τῷ ὄντι ὂν ἀναπέτεσθαι πειρωμένων καὶ καθέλκων αὐτοὺς εἰς γῆν, τὰ δὲ δάκρυα ἐκ τῶν αἰσθητῶν εἰς τὰ ἀόρατα τὴν ψυχὴν ἀναπτεροῖ.

Ὁ δ' Ἀριστοφάνης μέγα τι ἀναβοήσας, Καπνόν, ἔφη, κατὰ τὴν παροιμίαν φυγόντες εἰς τὸ πῦρ ἐμπεπτώκαμεν καὶ ἕτερον δὴ Σωκράτη ἐξεγείραμεν ὃν δεῖ ὡς τάχιστα ἀνακρεμάσαι; ἆρα αὐτοσχεδιάζεις περὶ τῆς φιλοσοφίας ἰδιώτης ὤν; ὅρα δὴ μὴ σοὶ τὸ λεγόμενον ξυμβαίνῃ, ἐν πίθῳ ἡ κεραμεία γιγνομένη. ἀλλ' ἐφ' ᾧτε μόνον τὴν τραγῳδίαν σὲ ἀσκεῖν δύο ἔπη σοι δωροῦμαι τάδε·

> τίς οἶδεν εἰ κλάειν μέν ἐστί πῃ γελᾶν
> τὸ γελᾶν δὲ κλάειν ἐστί;

σχολάζοιμεν γὰρ ἂν ἡμεῖς ἄνευ σοῦ, ὦ Εὐριπίδη. τί δέ; ὦ Σώκρατες, ἆρα σιγᾷς;

Ἐγὼ δ' ἠπόρουν καὶ ἐπισφαλεστέραν ἐδόκουν τὴν κρίσιν εἰληχέναι ἢ τὴν τοῦ Ἀλεξάνδρου, καὶ τέως μὲν ἐσίγων, ἔπειτα δὲ συστρέψας ἐμαυτόν, Τί παθόντες, ἔφην, ὦ Ἀριστόφανες, γελῶσιν οἱ ἄνθρωποι; ὁ δέ, Ὁρῶντές γε οἶμαι, ἔφη, τὸ γελοῖον τὸ ἐν τοῖς ἀνθρωπείοις ἐνόν· Ἀλλὰ ποῖον δή, ἦν δ' ἐγώ, τοῦτο τὸ γελοῖον τυγχάνει ὄν; Τὸ ἄτοπον δήπου, ἦ δ' ὅς. Σισύφειόν τι

Digitized by Google

δῆθεν, ἔφην, τὸ ζήτημα μεταχειριούμεθα, εἰ οὕτως ἀεὶ μέλλεις ἀποκρινεῖσθαι, ὅθεν ἐξωρμώμεθα πάλιν αὐτόσε κυλινδούμενοι. μὴ δῆτα σοφιστής σύ γε γενοῦ, ἀλλὰ καταντικρὺ ἀποκρίνου· οἷον εἰ ἐροίμην διὰ τί κατεγέλων ἐμοῦ τήμερον οἱ θεαταί, τί ἂν εἴποις; ὁ δὲ ἡσυχῇ γελάσας, Μῶν δι' ἄλλο τι ἢ ὅτι αὐτοὶ μὲν τὸ πρὶν ὑπὸ σοῦ τοῖς τῶν λόγων ἅμμασι καὶ σπείραις κατεκρεμάσθησαν, νῦν δὲ αὐτὸν τὸν κατακρεμάσαντα κατακρεμαννύμενον ὁρῶντες οὕτω δὴ ἐξεγέλων; Ἆρ' ἀληθὲς τοῦτο; ἦν δ' ἐγώ· δοκῶ γὰρ παραπλήσιόν τι πεπονθέναι τοῖς ἥρωσιν. Πῇ δή; Ἀλλ' ὧδε σκόπει· πότερον ἥδοντο οἱ θεαταὶ ἐμέ τε καὶ τὴν Κλεώνυμον κωμῳδουμένους ὁρῶντες ἢ οὔ; Φαίην ἂν ἔγωγε. Ἀλλὰ τί περὶ τῶν ἐν ταῖς τραγῳδίαις ἡρώων εἴπωμεν; πότερον ἥδεσθαι φῂς τοὺς θεατὰς ἐπὶ ταῖς τοῦ Αἴαντος ἀτυχίαις ἢ λυπεῖσθαι; Λυπεῖσθαί γε. Ἀλλ' ἐπίχαρίς γε οἶμαι καὶ τερπνὴ ἡ λύπη· οὐ γὰρ ἂν τοσοῦτο τὸ πλῆθος ξυνηθροίζετ' ἂν εἰς τὰ θέατρα. Ἴσως δή. Οὐκοῦν ὅταν τῷ Αἴαντι ὀδυρομένῳ ξυλληπηθῶσιν ἢ οἰκτείρουσι ἑαυτοὺς ταὐτὰ τῷ Αἴαντι πεπονθότας ἢ μακαρίζουσιν ἅτε τῶν τοιούτων ἀμοίρους ὄντας; Ἔοικε. Τερπνή τις ἄρα φαίνεται οὖσα ἡ τῶν θεωμένων λύπη, καὶ ὥσπερ γαργαλισμὸς τῆς ψυχῆς; Φημί. Οὐκοῦν περὶ ταὐτὰ δὴ πραγματεύεσθαι κινδυνεύετον ἥ τε τραγῳδία καὶ ἡ κωμῳδία; Πῇ δή; Ἧι τῆς μὲν οἱ θεαταὶ ἥδονται ἄλλους ὁρῶντες ἑαυτῶν καταγελαστοτέρους, τῆς δὲ δυσδαι-

Digitized by Google

μονεστέρους· οὐκοῦν φαίνεσθον κολακικὼ καὶ θωπευτικὼ ὄντε τὼ τέχνα;

Καὶ τότε μὲν δὴ ἀνεβόα ὁ Ἀριστοφάνης, Μὴ γένοιτ', ὦ πάντες θεοί, ὁ δ' Εὐριπίδης δεινὸν δὴ ποιούμενος, Πῶς, ὦ Σώκρατες, ἔφη, ταῦτα φλυαρεῖς ἐρεσχηλῶν τε περὶ τὰ σπουδαιότατα καὶ προπηλακίζων τὴν τραγῳδίαν; Κωμῳδίαν μὲν οὖν, ἔφη ὑπολαβὼν ὁ Ἀριστοφάνης· ὁ δὲ οὐδὲν φροντίζων αὐτοῦ, Φανεραὶ γάρ εἰσιν, ἔφη, πάνυ ἀνόμοιοι οὖσαι αἱ τέχναι, πλὴν ὅσον ἀμφὼ μιμητικὼ ἐστόν, ἀλλ' ἡ μὲν τραγῳδία καλοῦ τινος μίμησις ἡ δὲ κωμῳδία κακοῦ. ἐγὼ δὲ σφόδρα ἐλυπούμην καί, Περιορᾷς με, ἔφην, ὦ Ἀριστόφανες, οὕτως ὑβριζόμενον ὡς δὴ κακόν τι ὄντα; ἀλλὰ μὴ λοιδορήσῃς, ὦ Εὐριπίδη· φέρε οὖν·

Ἦ περὶ ἄλλο τι ἡ τῆς τε κωμῳδίας καὶ τῆς τραγῳδίας πραγματεία ἐστὶν ἢ περὶ τὰς τῶν ἀνθρώπων ψυχάς; Οὔ φημι. Οὐκοῦν τὸν ὡς ἀληθῶς κωμῳδὸν ἢ τραγῳδὸν τέχνῃ μέλλοντα ἔσεσθαι δεῖ πρῶτον τὰ τῆς ψυχῆς ἐκμανθάνειν, τίνι τε τρόπῳ πάσχει καὶ ποιεῖ καὶ τί τυγχάνει ὂν τό τε κακὸν καὶ τὸ ἀγαθὸν καὶ ἅπαντα τὰ τῆς ψυχῆς ἐχόμενα; Ἔοικεν. Ἆρ' οἷός τε ἐστί τις γιγνώσκειν τί τὸ αὐτὸ καθ' αὐτὸ ἀγαθὸν τυγχάνει ὂν εἰ μὴ ὁ ἀγαθὸς ὤν; Οὐκ οἶμαι. Ἀλλὰ καὶ τόδε ἀποκρίνου· πότερον ὡσαύτως ὁ κακὸς τί τὸ κακόν ἐστι γιγνώσκει ἢ μόνος ὁ ἀγαθὸς τῆς κακίας ἐπιστήμην ἔχει, τῷ δὲ κακῷ ἅτε δόξαν περὶ αὐτῆς ὥσπερ καὶ περὶ τῶν ἄλλων

Digitized by Google

ἔχοντι τὸ μὲν ἀγαθὸν κακόν τι δοκεῖ, τὸ δὲ κακὸν ἀγαθόν; ὡμολόγει καὶ τοῦτο. Τοῦ αὐτοῦ ἄρα ἀνδρός, ἅτε τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ ἐπιστήμην λαβόντος, καὶ τὴν μίμησιν αὐτοῖν ποιεῖσθαι; ξυνέφη μόγις. Οὐκοῦν τοῦ αὐτοῦ ἐστιν ἀνδρὸς κωμῳδίαν τε καὶ τραγῳδίαν ἐπίστασθαι ποιεῖν;

Σφὼ δὲ ὥσπερ κάπηλοι δύο ὀψάριά τε καὶ ἡδύσματα ταὐτὰ πωλοῦντες περιπατεῖτε ἐν τῇ ἀγορᾷ τοῖς Διονυσίοις ἀμφισβητοῦντές τε καὶ λοιδορούμενοι ὥσπερ οἱ ἐκ τῶν ἁμαξῶν. οὐκοῦν ἤδη τὸ νεῖκος τοῦτο ἀποβαλόντες σπονδὰς ἂν ποιήσαισθε πρὸς ἀλλήλους; ἐν δὲ τούτοις ὁ Εὐριπίδης ὡς δὴ κατεδόμενος τὸν Ἀριστοφάνη ἐκαθέζετο, ὥσπερ καθ' Ὅμηρον λέων σίντης ἐάλη τε χανὼν περί τ' ἀφρὸς ὀδόντας γίγνεται, ὁ δὲ ἐξ ἐναντίου βεβαπτισμένος ἤδη καὶ ἐρυθριῶν τὸ πρόσωπον πάνυ γελοῖόν τι ἐμειδία· Φέρετε δή, ἦν δ' ἐγώ, παύσασθον ἀντιτεινομένω· χρηστὼ μὲν γὰρ ἐστόν, γελοίω δὲ καὶ ἀτόπω. ὁ δ' Ἀριστοφάνης μέγα ἐκγελάσας, Εὖ γε, ἦ δ' ὅς, ἀλλὰ ὅρα τί ποιεῖς ἡμᾶς διαλλάττων· εἰ γὰρ ἅπαντες οἱ τραγῳδοὶ κωμῳδοποιήσουσι, τί σοὶ γενήσεται; Μῶν καιναῖς, ἦν δ' ἐγώ, μορμολύττει με Νεφέλαις; Νὴ Δί', ἔφη, καλαὶ μὲν οὐκ ἄν, μᾶλλον, εὐτυχεῖς δ' ἴσως. Ἀλλ' οὐκ ἀποδειλιατέον, ἔφην· ἀλλ' οὐ γὰρ ἀκριβῶς ἐξεπίσταμαι τὰ περὶ τραγῳδίαν τε καὶ κωμῳδίαν, σὺ δ' ἡμᾶς δίδασκε ὁποῖός τις ἐστιν ὁ θεὸς ᾧ λατρεύεις· ἢ οὐχ

Digitized by Google

οὕτως ἂν οἴει ἄμεινον σκέψασθαι; σὺ δ᾽ οὖν ἂν λέγοις ἡμῖν ἢ εἰ βούλει ἐγὼ μὲν ἐρωτήσω, σὺ δ᾽ ἀποκρίνου. Βουλοίμην ἂν οὕτως, ἔφη.

Ποία οὖν τις τυγχάνει οὖσα ἡ τοῦ γέλωτος ἀπεργασία; ἐρωτῶ δὲ πότερον βέλτιον ἢ χεῖρόν τι ἀπεργάζεσθαι βούλεται οὗ ἂν ἐφάπτηται; Χεῖρόν γε, ἦ δ᾽ ὃς ὁ Ἀριστοφάνης, ἵνα μηκέτι ἐρῶσιν αὐτοῦ οἱ ἄνθρωποι· Εἶεν· ἦν δ᾽ ἐγώ· ἀλλὰ πότερον τὸν γέλωτα φαίης ἂν ἅπασι τοῖς ἀνθρωπείοις ἐπιτίθεσθαι ἢ ὡρισμένην πῃ τὴν δύναμιν ἔχειν; Οὐ πάνυ μανθάνω ὃ λέγεις, ὦ Σώκρατες. Ἀλλ᾽ ὧδε λέγω· τοῦ μὲν γὰρ ἔρωτος πέρι ὁμολογεῖται ὡς πάντων βασιλεύει, περὶ δὲ τοῦ γέλωτος ἀμφισβητοῦμεν πότερον ἁπάντων καθάπτεται, ἢ τῶν μὲν τῶν δ᾽ οὔ; Ἀλλὰ γὰρ ἀναιδής, ἦ δ᾽ ὅς, ὁ θεός ἐστιν, ἅπασιν οἶμαι προσκρούει. Οὐκοῦν ὅτου ἂν καθάπτηται φαυλότερον τοῦτο ἀπεργάζεται ἵνα μηκέτι ἐρῶσιν αὐτοῦ οἱ ἄνθρωποι; Πάνυ γε. Οὐκοῦν τοῖς τελέως ἀγαθοῖς ἐπιτίθεται προθυμούμενος τὰ τοιαῦτα; κινδυνεύει δὲ βδελυρός τις εἶναι καὶ ἀπαίδευτος. ὁ δ᾽ Ἀριστοφάνης, Οὐ γὰρ τοιαῦτα ἔλεγον· ἀλλ᾽ ὅτῳ ἂν ἁμάρτῃ ἐπιθέμενος ὁ γέλως, πῶς οὐκ ἀγαπήσουσιν τοῦτο οἱ ἄνθρωποι ἅτε παντελῶς ἀγαθὸν πεφυκός; Ἆρ᾽ οὖν, ἦν δ᾽ ἐγώ, ὁ πάνδεινός γε ὢν γέλως οὐχ οἷός τ᾽ ἐστὶ βλάψαι τὰς κατὰ Πίνδαρον ἀρετῶν κορυφὰς καὶ τὸν ὡς ἀληθῶς φιλόσοφον ὄντα φύσει; Ἥκιστά γε, ἔφη· οὐ γὰρ δύναιτ᾽ ἂν τὸν τοιοῦτον

Digitized by Google

ἐκπλῆξαι οὔτε νύκτωρ γαλεώτης ἀπὸ τῆς ὀροφῆς —Μὴ δῆτ', ὦ 'Αριστόφανες, οὕτως ἀποκρίνῃ τοῦ τε λόγου καὶ τοῦ Εὐριπίδου χάριν. .φῂς οὖν ὥσπερ τὴν τοῦ 'Αχιλλέως πανοπλίαν τὰ τῶν Τρώων βέλη οὕτως ἀδυνατεῖν τὸν γέλωτα εἰς τὰς τελέως ἀγαθὰς οὔσας ψυχὰς ὑποδύντα λωβᾶσθαι; Φημί. Ἔστιν δὲ ὅτε ἀναπηδῶντα τὰ βέλη τραυματίζει τὸν ἀφέντα ὥστε γέλωτα πάσχειν αὐτὸν καὶ μὴ ποιεῖν; Καὶ πάνυ γε, ἦ δ' ὅς, ὅπερ δὴ ἄρτι πέπονθεν ὁ Εὔπολις· καὶ γὰρ— 'Αλλὰ χαιρέτω ὁ Εὔπολις, ἦν δ' ἐγώ. καὶ οὕτως ἀγαπῶσι τοὺς τοιούτους οἱ ἄνθρωποι ἅτε εὐθύνας τινὰς ἀποφυγόντας; Ἔοικεν. 'Αλλὰ τί δὴ φῶμεν περὶ τῶν τελέως κακῶν ὄντων; ἦ ἐπὶ τῶν τοιούτων σφαλεὶς ὁ γέλως ποιεῖ αὐτὰ ἀγαπητὰ εἶναι; ἀκολουθεῖ γὰρ καὶ τόδε τοῖς προειρημένοις. Βαβαί, ἦ δ' ὅς· οὐδὲ γὰρ ἐφάπτεται ὁ γέλως οὔτε τῶν τελέως ἀγαθῶν ὄντων οὔτε τῶν κακῶν ἀλλὰ τῶν ἐν μέσῳ πῃ κειμένων. 'Ομολογεῖς ἄρα ὅτι ὡρισμένην τὴν δύναμιν κέκτηται ὁ γέλως; 'Ομολογῶ. 'Αλλὰ νῦν δή, ἔφην, σκεπτέον ἡμῖν περὶ τῶν ἀτελῆ καὶ μὴ τελείαν τὴν ἀρετὴν καὶ τὴν κακίαν κεκτημένων· καὶ πολλάκις φανερός ἐστιν ὁ γέλως τῶν τοιούτων στοχαζόμενος καὶ τοὺς μὲν παύει τῆς ἀρετῆς ἢ καὶ τῆς κακίας ὅσοι κακοὶ τοὺς δὲ ὥσπερ κέντρον ἐγκαταλιπὼν ταῖς ψυχαῖς σπεύδοντας ἔτι μᾶλλον ἐπισπεύδει; Ἴσως γε. Ἄλογος ἄρα κινδυνεύει τις εἶναι ὁ γέλως πολλάκις μὲν τοῦ κακοῦ προστατῶν,

Digitized by Google

πολλάκις δὲ τοῦ ἀγαθοῦ, καὶ ὥσπερ νυκτερὶς μυχῷ ἄντρου θεσπεσίοιο τὴν κεφαλὴν τῇ πέτρᾳ προσπταίουσα οὕτως ἅπασιν ἄνευ λόγου προσκρούων ἅτε δὴ οὔτε τὸ κακὸν οὔτε τὸ ἀγαθὸν διαγιγνώσκων, καὶ τῇ δόξῃ ἀεὶ δουλεύων. ἦ οὐχ οὕτως ἔχει; ὁ δ' Ἀριστοφάνης ἔγρυξε μόνον. Καὶ νῦν δή, ἔφην, εἰς τὰ μήτε κακῶς μήτε καλῶς ἔχοντα ἀλλὰ διττοῦ τοῦ εἴδους μετέχοντα. Βουλομένῳ γε ἐμοί, ἦ δ' ὅς. Ἐνταῦθα δ', ἦν δ' ἐγώ, βασιλεύει ὁ γέλως ἀεί τε καὶ οὐχ ἥκιστα τοῖς Διονυσίοις· ἀκούεις γὰρ ὡς βακχεύει ὁ θεὸς ἐν τῇ ἀγορᾷ· ἤδη δὲ μέσαι νύκτες εἰσί· μαντεύομαι δ' οὐ μακρὰν ἀπεῖναι τὸν Ἀλκιβιάδην τοῦ θορύβου. Ὀρθῶς γε, ἦ δ' ὅς. Ἁπάντων οὖν τῶν τυχόντων φαίνεται ὁ γέλως ἀνθαπτόμενος, καὶ τὰ μὲν κοῖλα ἐκπληρῶν τὰ δ' ἐξέχοντα καθαιρῶν οὕτως εἰς κοινόν τινα καὶ ὁμαλὸν τύπον ἐκμάττει τὴν πόλιν; Φαίνεται. Οὐκοῦν ἤδη ἔσκεπται περὶ τοῦ γέλωτος ποῖός τις ὢν ποῖα ποίῳ τρόπῳ πραγματεύεται; Ἴσως γε. Ὁμολογητέον οὖν ὡς οὐ τῶν μεγάλων ἐστι δαιμόνων ὁ γέλως, ἀλλὰ φαῦλός τις καὶ πολυπράγμων καὶ ἀεὶ περὶ τὰ σμικρὰ τῶν τε ἀγαθῶν καὶ τῶν κακῶν καὶ τὰ σμικρόν τι παρὰ τὸ νόμιμον παρεκβαίνοντα πραγματευόμενος τὰ μὲν ἐπανορθοῖ τὰ δ' ἔτι μᾶλλον διαστρέφει, καὶ ὥσπερ μέλιττα τῇ τῶν ἀνθῶν γλυκύτητι οὕτω τῇ τῶν πολλῶν ἡδονῇ ξυνέπεται δειλός τις ὢν φύσει καὶ κολακικός. δοκεῖ δέ μοι οὐ τοῦ Διός τε καὶ τῆς Θαλείας ἔκγονος

Digitized by Google

εἶναι ἀλλ' Ἀναισχυντίας τε καὶ Θράσους, ὥστε ἐνίοτε μὲν μητρόθεν λαβὼν ἀναισχυντίαν τοῖς τελέως ἀγαθοῖς πεφυκόσιν ἐπιτίθεται ἐνίοτε δὲ πατρόθεν θράσος τοῖς τελέως κακοῖς, πλειστάκις μέντοι τῶν ἰσχυρῶν ἀπεχόμενος τούτων ἀνθάπτεται ὅσα ἂν ἀσθενῆ εἴτε τὴν ἀρετὴν εἴτε τὴν κακίαν ἔχῃ. ἦ ὁμολογεῖς τούτοις; Οὐ μὰ Δί', ἔφη· πῶς γὰρ δειλὸς ὁ γέλως ἐρεθίσας σὲ οὕτω λάλον ὄντα;

Ὁ δ' Εὐριπίδης, Ἆρ' οἴει, ἔφη, τὸν λόγον ἤδη πεπεράνθαι; ἐμοὶ μὲν οὖν παντάπασί τε καὶ πανταχόθεν ἐλλείπειν δοκεῖ· πρῶτον μὲν γὰρ ὡς δὴ ταπεινῶν καὶ συσστέλλων τὴν τοῦ γέλωτος δύναμιν ἔλεγες ὡς οὐχ οἷός τ' ἐστὶ βλάψαι τὸν ἀγαθόν· ἐγὼ δὲ τοὐναντίον φημὶ ὡς πολλὰ ἀδικεῖ ἀφαιρούμενος τὸν τοιοῦτον τὴν προσήκουσαν τιμήν· πολλάκις δὲ τῇ ἀρετῇ νεογενεῖ οὔσῃ καὶ μήπω τελεωθείσῃ ὥσπερ ἁπαλῷ τινι ῥόδῳ προσφὺς ὁ γέλως λυμαίνεται, ὥστε ἐρυσίβῃ τινὶ αὐτὴν ἀπομαραινομένην τάχα φυλλορροεῖν. ἔπειτα δὲ ἐθίζει τοὺς ἀνθρώπους τοῖς αἰσχροῖς χαίρειν ὥστε τελευτῶσα λανθάνει αὐτοὺς ἡ ψυχὴ ἀγεννής πῃ γιγνομένη καὶ ἀμβλυώττουσα πρὸς τὴν τῶν ὡς ἀληθῶς καλῶν ὄντων θέαν. ὥστ' οὐκ ἐμὲ ξύμψηφον ἔχεις, ὦ Σώκρατες. Οὐδ' ἐμέ γε μὰ Δί', ἔφη ὁ Ἀριστοφάνης· ἐπαμφοτερίζων γὰρ οὐδετέρῳ ἡμῶν ἀρέσκεις. ἀλλὰ δοκεῖ μοι παντὸς μᾶλλον ὁ γέλως ὠφέλιμος εἶναι· καὶ γὰρ ὥσπερ κιθαριστὴς τὰς μὲν ἐπιχαλῶν τῶν χορδῶν

Digitized by Google

τὰς δ' ἐπιτείνων οὕτω τὴν τῆς λύρας ἁρμονίαν ξυναρμόττει, ὡσαύτως δεῖ ἡμᾶς πρὸς τὰ ἀνθρώπεια προσφέρεσθαι· τὸ γὰρ λίαν τι καὶ ἀεὶ πράττειν μεγάλην ἁμῶς γέ πως φιλεῖ εἰς τοὐναντίον μεταβολὴν ἀνταποδιδόναι· ὁ δὲ γέλως τὴν ψυχὴν τὴν ἄγαν ἐπιταθεῖσαν ἐπιχαλῶν, οὕτως εὔρυθμον τὴν τοῦ βίου ἁρμονίαν ἀπεργάζεται· διὸ δὴ ἕπεσθαι ταῖς τραγῳδίαις τὰς κωμῳδίας ἐνομοθέτησεν ὁ Σόλων ἵνα μὴ τὰ σὰ δάκρυα, ὦ Εὐριπίδη, εἰς Ἅιδην ἀναπτεροῦντα τοὺς θεατὰς οὕτως ἅπασαν τὴν πόλιν καὶ τοὺς ξένους ἀφανίσειε. ὁ δὲ γέλως ὥσπερ τὴν ναῦν τὸ ἕρμα οὕτω τὴν πόλιν ὑπὸ τῆς τε φιλοσοφίας καὶ συκοφαντίας καὶ ὀδυρμῶν χειμαζομένην—ἀλλὰ σὲ κληρονόμον ὦ Σώκρατες ποιοῦμαι τῆς εἰκόνος· οἴμοι τῆς λυγγός· δός μοι πιεῖν.

Ἐγὼ δ' ἐσίγων καὶ οὐκ εἶχον ὅ τι ἀποκρινοῦμαι· ἐδόκει δέ μοι ὁ γέλως δυσθήρευτός τις εἶναι καὶ σφαλερός. ὁ δ' Ἀριστοφάνης ἀναπηδήσας, Σχολῇ γ', ἦ δ' ὅς, τὸν γέλωτα καταλήψεσθε οὕτω σεμνῶς καὶ τραγικῶς διώκοντες· καὶ γὰρ ὁ γέλως ἐλαφρός τε ὢν καὶ εὐσταλὴς περιστρεφόμενός τ' ἀεὶ καὶ μεταβαλλόμενος καὶ ὥσπερ ὁ Πρωτεὺς ὅσσ' ἐπὶ γαῖαν ἑρπετὰ γιγνόμενος καὶ ὕδωρ καὶ θεσπιδαὲς πῦρ τὴν φιλοσοφίαν σκαιάν τε καὶ ὅσον οὐ τυφλώττουσαν ῥᾳδίως ἐξαπατᾷ. ἆρ' ἀπορεῖς, ὦ Σώκρατες; ποῦ δέ σοι ἡ μαιευτική; καὶ μέγα ἐκγελάσας ἐμιμεῖτο δὴ τοὺς ἐμοὺς τρόπους καί, Δεῦρο νῦν, ἔφη, ὦ Εὐριπίδη (ἐγὼ

γὰρ ἔσομαι Σωκράτης ὁ σός), τί φῂς τὸ γελοῖον εἶναι; ὁ δέ, Τὸ ἑλκτικὸν δήπου, ἔφη, ἐς τὰ αἰσθητά. Μὴ δῆθ' οὕτως ἀποκρίνῃ, ἦ δ' ὅς, ἀλλ' εἰ σὲ κωμῳδήσαιμι τίνος ἂν καταγελῷεν οἱ θεαταί; ὁ δέ, Τίνος ἄλλου, ἔφη, ἢ σοῦ; ὁ δ' Ἀριστοφάνης, . Νεανική γε, ἦ δ' ὅς, ἡ ἀπόκρισις· τὸν μέντοι Ἀγάθωνα εἰ κωμῳδήσαιμι— Πολύ γε διαφέρει, ἔφη ὁ Εὐριπίδης μειδιάσας· γελῷεν γὰρ ἐπ' αὐτοφώρῳ αὐτὸν λαβόντες. ὁ δ' Ἀριστοφάνης, Οὐκοῦν νὴ τὸν κύνα σκυτοτομική τις φαίνεται ἡ τῆς κωμῳδίας τέχνη; καὶ γὰρ καθ' ἕκαστον ἔτος τοῖς Διονυσίοις τὰ ὑποδήματα ἡμῖν ἡ πόλις καὶ τῷ γέλωτι νευρροραφεῖν ἐγχειρίζει. ἡμεῖς δὲ τὰ μὲν στεγανὰ ὄντα τῶν ὑποδημάτων ἔτι στεγανώτερα' ποιοῦμεν τὰ δὲ μὴ συρράπτοντές τε καὶ ἥλους ἐγκρούοντες αὐτοῖς πῶς οὐκ ὠφελοῦμεν τὴν πόλιν; ἀλλὰ σὲ μέν, ὦ Σώκρατες, ὡς αὐτέκμαγμά τι εἰλικρινὲς τοῦ γέλωτος ἀσπάζομαι, ὁ δ' Εὐριπίδης οὐδεπώποτ' ἐκείνας τὰς τελετὰς ἐπεῖδεν ἃς ὀργιάζομεν τῷ γέλωτι ἐγώ τε καὶ σὺ ὁλοκλήρω τινες ὄντε τῶν μυστηρίων. καὶ ταῦτ' εἰπὼν ἐκαθέζετο, ἰλιγγιῶν τε καὶ σφόδρα ἤδη μεθυσθείς.

Ἀλλὰ ταῦτα δή, ἦν δ' ἐγώ, ἅλις πεπαίσθω ἡμῖν, οὐ γὰρ καταγελαστῶς δεῖ περὶ τοῦ γελοίου σκοπεῖν. δοκῶ δ' ἔχειν τι· σὺ δ' ἀποκρίνου, ὦ Εὐριπίδη· ὑπονυστάζει γὰρ ἤδη ὁ Ἀριστοφάνης. ἆρ' εἶδες πώποτε τὸν ἐγγελῶντα τῷ καλῷ πρὸς τὸ καλὸν αὐτὸ εἶναι, ἢ

Digitized by Google

τῷ κακῷ πρὸς τὸ κακὸν εἶναι; Οὐ φαίην ἄν. Ἐὰν οὖν ἴδωμέν τινα ἐγγελῶντα εἴτε τῷ καλῷ εἴτε τῷ κακῷ οὐ φήσομεν αὐτὸν πρὸς τὸ καλὰ ἢ κακὰ αὐτὰ εἶναι γελᾶν, προσγενομένου δὲ ἀλλοίου τινος; Οὐ φήσομεν. Ἆρ' οὖν ἀλλοῖόν τι τοῦ ἀγαθοῦ τὸ κακὸν ἡμῖν θετέον, τοῦ δὲ καλοῦ τὸ αἰσχρόν, τοῦ δ' εἰλικρινοῦς τὸ ψευδές, καὶ τοῦτ' εἰς ἀπέραντον; Ὀρθῶς γε. Οὐκοῦν ἀναρμοστία τις φαίνεται οὖσα ἡ τὸν γέλωτα ἡμῖν ἐντίκτουσα; Φαίνεται. Οὐδεὶς γάρ, ἦν δ' ἐγώ, οὔτε ἀνθρώπῳ ἐφ' ὅσον ἄνθρωπός ἐστι οὔτε ὑὶ ἐφ' ὅσον ὗς ἐγγελᾷ, εἰ δέ τις συμπλέκοι τήν τε ἀνθρωπίνην καὶ τὴν ὑείαν φύσιν οὕτω δὴ ἅτε γελοίας γενομένης τῆς κράσεως ἐκγελῷμεν ἄν; Ἀληθῆ λέγεις. Οὐκοῦν ὅταν ἐς ταὐτὸ ξυμμιγῇ τὰ ἐναντίαν τὴν φύσιν κεκτημένα, οἷον τό τε καλὸν καὶ τὸ αἰσχρὸν καὶ ξυλλήβδην τὰ ἑκατέρου τοῦ εἴδους μετέχοντα, τότε δὴ ἀναζωπυρεῖται ὁ γέλως—ἢ πῶς λέγεις; Ξύμφημι, ἦ δ' ὅς. Ἀλλὰ καὶ τόδε, ἦν δ' ἐγώ, ἀποκρίνου· πότερον τῷ ἀγαθῷ μόνον τῷ οἰκείῳ ἁπάντων ἐπιστήμην ἔχει ἡ ψυχή, ἢ ὥσπερ τῶν πάλαι τις ἔλεγεν ἡ γνῶσις ἐστὶ τοῦ ὁμοίου τῷ ὁμοίῳ; Ἀλλ' οὐκ ἀποδεκτέον, ἦ δ' ὅς, τοῦ Ἐμπεδοκλέους ταῦτα λέγοντος, εἴπερ δεῖ τοῖς προειρημένοις ἀκολουθεῖν. Ὡμολογήσαμεν γὰρ τότε, ἦν δ' ἐγώ, ὅτι μόνος ὁ ἀγαθὸς τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ ἐπιστήμην ἔχει, ὁ δὲ μὴ εἰδὼς τί τὸ ἀγαθόν ἐστιν, οὐδὲ τῆς κακίας ἐπιστήμην ἔχει ἀλλὰ κενήν τινα καὶ ἐξίτηλον δόξαν;

Digitized by Google

᾿Ορθῶς μ᾿ ἀνέμνησας. Οὐκοῦν τοῦ γελοίου ἅτε ξυγκειμένου ἐξ ἀγαθοῦ τε καὶ κακοῦ ἄτοπον κρᾶσιν κεκραμένοιν, ὁ ἀγαθὸς καὶ ὁ φιλόσοφος μόνος ἐπαΐει, ὅ τί πότ᾿ ἐστι; Ξύμφημι. Οἱ δὲ πολλοὶ ἅτε οὐδετέρου εἴδους ἐπιστήμην ἔχοντες ἀλλὰ δόξαν μόνον, ὥσπερ οἱ τοὺς ὀφθαλμοὺς διεστραμμένοι ἅπαντα διεστραμμένα ὁρῶσιν, οἱ μὲν αὐτῷ τῷ ἀγαθῷ ἐγγελῶντες οἱ δὲ τῷ αἰσχρῷ, ἀγνοοῦντες δὲ τί ποτ᾿ ἐστὶ τὸ καλόν τε καὶ αἰσχρόν, δοξάζοντες δὲ μόνον ἀκαίρως δὴ καὶ καταγελαστῶς γελῶσι ταὐτό τι πάσχοντες τοῖς δένδρων σκιὰς ἐν ὕδατι θεωμένοις· ὁ δὲ ὡς ἀληθῶς φιλόσοφός τε καὶ φιλομαθὴς ὑπὲρ τῶν αἰσθητῶν ἀναπετόμενος οὐδὲ τῇ ὄψει δουλεύων, σχέδον τι οὐδέποτε φαίνεται τοῖς αὐτοῖς ἐγγελῶν οἷσπερ οἱ πολλοί, ἀλλὰ τοὐναντίον οἷς μὲν ἐγγελῶσιν οἱ πολλοὶ ταῦτα δίωκων, ὅσα δὲ διώκουσιν ἐκεῖνοι ὡς καλὰ καὶ ποθεινὰ παντελῶς ὄντα, ἐπὶ τούτοις ἐπιγελῶν ὡς καλοῖς μὲν ἰδεῖν ἀληθῶς δὲ μικτὴν καὶ ἐξ ἐναντίων τὴν φύσιν ξυγκειμένοις· ἢ οὐχ οὕτως ἔχει; Οἶμαί γε. ᾿Αλλὰ μῶν δὴ ὁ φιλόσοφος τὸν αὐτὸν τρόπον τοῖς πολλοῖς γελάσεται ἀχρεῖον δὴ καθ᾿ Ὅμηρον καὶ ἀλλοτρίοισι γναθμοῖσι; Ἥκιστα. Γενναίως οὖν καὶ χρηστῶς γελάσεται ὁ φιλόσοφος; Πάνυ γε. ᾿Αλλὰ μῦθόν τιν᾿ ἔχω λέγειν, γελοῖον μὲν ἅτε περὶ τοῦ γελοίου λεγόμενον, ἀληθῆ δ᾿ ἴσως. ἆρα βούλει ἀκοῦσαι; Πάνυ γε, ἦ δ᾿ ὅς, ἀλλὰ λέγε.

Λεκτέον οὖν, ἦν δ᾿ ἐγώ· τοῦτον δὲ τὸν μῦθον ἔτι

Digitized by Google

μειράκιον ὢν παρὰ Σικελοῦ τινὸς ἔμαθον, ὁ δ' ἔφη παρὰ Ἐμπεδοκλέους ἀκοῦσαι. πάλαι γὰρ οὐκ ἔφη εἰς σῶμα ξύμφυτόν τε καὶ ξύνδετον ξυνεστηκέναι πω τὰ τοῦ σώματος μόρια οὔτε ἀνθρώποις οὔτε τοῖς ἄλλοις ζῴοις, ἀλλὰ διῃρημένα τὰ μέλη καὶ διεσπαρμένα ἅπαντα πεφυρμένως πλανᾶσθαι. μέμνημαι δὲ τρία ἔπη αὐτὸν λέξαντα τάδε ἃ ἔφη Ἐμπεδοκλέους εἶναι·

πολλαὶ μὲν γὰρ κόρσαι ἀναύχενες ἐβλάστησαν
γυμναὶ δ' ἐπλάζοντο βραχίονες εὔνιδες ὤμων
ὄμματα δ' οἶ' ἐπλανᾶτο πενητεύοντα μετώπων.

προσέτι δὲ ἔφη τὰ τοῦ σώματος μόρια ἀναφύρδην τε κυκώμενα καὶ πανταχόσε ἕρποντα εἴς τε τὸ πρόσθε καὶ ὄπισθε, καὶ πολλὰς πρὸς ἄλληλα φορὰς φερόμενα, παντοδαπῶν ἀποπειρᾶσθαι ξυμβολῶν τε καὶ ξυμπλοκῶν, ὅσοις πλανώμενα προσκρούοι τούτοις ἀλόγως προσφυόμενα εἴ πως ὅλον τι σῶμα δύναιτ' ἂν ἀπεργάζεσθαι. οὕτω δὲ πολλὰς καὶ πάνυ γελοίας ξυμβῆναι τύχας· τοὺς μὲν γὰρ ὀφθαλμοὺς πολλάκις ταῖς πτέρναις ἐμφύεσθαι τὰ δ' ὦτα ἄκραις ταῖς χερσὶ τὰ δὲ σκέλη ἐξ ὀφρύων ἐκβλαστάνειν καὶ μύρια τοιαῦτα. εἰ δὲ θείᾳ τινὶ τύχῃ ἥ τε ῥὶς καὶ τὰ ὦτα καὶ τἆλλα τῆς κεφαλῆς μόρια ἐς μίαν κεφαλὴν ξυσταίη, οὐχ ὅμως εἰδέναι αὐτὴν ᾧ τινι ξυμφυομένη σῶμά τι πρέπον ἂν ἀπεργάζοιτο, ἀλλ' ἄνευ λόγου χαμαὶ ἑρποῦσαν ὅτῳ ξυμπίπτοι τούτῳ προσκολλᾶσθαι, ἐνίοτε μὲν ἀκεφάλῳ ὄφει ἐνίοτε δὲ τοῖς ὄνου τινος αὐχέσιν ἐνίοτε δὲ—ἀλλ'

Digitized by Google

οὐ δεῖ μακρηγορεῖν· οὕτω δὲ γενέσθαι τὸ πάλαι φάναι τὸν Ἐμπεδοκλέα τὰς Χιμαίρας καὶ τὰ τοιαῦτα θηρία ὑπὸ τῶν ποιητῶν ὑμνούμενα· εἰ δέ ποτε ἀνθρώποις τισὶ μέλεσιν ἐπιτυγχάνοι ἡ κεφαλή, ὅμως ἢ προσφυομένην τῇ νερτέρᾳ γαστρὶ ἢ ὑπὸ τὰς μάλας ὑποδυομένην πολλὰς καὶ ἀτοπωτάτας τὰς ἀναρμοστίας ἀπεργάζεσθαι· ἐν δὲ μέσῳ κυλινδουμένας τε τὰς ψυχὰς καὶ ταῖς ἀκαταστάτοις πλάναις ἀεὶ κινουμένας οὕτως ἐκγελᾶν, ὥστε μέγαν τὸν θόρυβον γίγνεσθαι γελωσῶν τῶν ψυχῶν. τὸν δὲ Δία ἐλεήσαντα τοὺς ἀνθρώπους διακρῖναι τὰ πάρος συνεστηκότα, συζεύξαντα δὲ καὶ ἀπονείμαντα ἑκάστῳ γένει τὰ προσήκοντα μέλη, ἅτε πάνδεινον ὄντα δημιουργόν, εὐάρμοστον πλάσαι τὸ σῶμα τοῖς τε ἀνθρώποις καὶ τοῖς ζῴοις, ἔπειτα δὲ κελεῦσαι ἐς τὸν Ἀμέλητα ποταμὸν καταγαγεῖν τὸν Ἑρμῆν τὰς ψυχάς· τὸν δὲ ἀμελήσαντα τοῦ Διὸς πάνυ ὀλίγας καταγαγεῖν ὥστε τὰς πολλὰς μνήμην τινὰ ἔτι σῴζειν ὧν τότε εἶδον· τελευτῶντα δὲ τὸν Δία ἐνδήσαντα τὰς ψυχὰς ἐν τοῖς σώμασιν ἅπαντα τὰ γένη μεταρρυθμίσαι. οὕτω δὲ φάναι τὸν Ἐμπεδοκλέα ἔτι καὶ νῦν, ἢν ἄτοπόν τι ἴδωσιν οἱ ἄνθρωποι ἢ τοῦ τε καλοῦ καὶ τοῦ κακοῦ ἀνάρμοστόν τινα κρᾶσιν, ἀναμιμνησκομένους ἁμῶς γέ πως τῶν τότε ἐκγελᾶν. ἔτι δὲ πρὸς ταῦτα φάναι, οἷον εἴη τὸ τῆς ψυχῆς εἶδος, τοιοῦτον καὶ τὸν γέλωτα ἕκαστον ἄνθρωπον εἰληχέναι. ὅσοις μὲν γὰρ ἡ ψυχὴ ἐπεγέλασεν ἑαυτῇ εἰς τραγοειδῆ ἢ ὕεια μόρια

Digitized by Google

μετοικούσῃ, τούτους φάναι χαίρειν τοῖς αἰσχίστοις σκώμμασιν, ὅσοις δ' ἐς λεοντώδη ἢ θηριώδη φύσιν, τούτους μάλ' ὑβριστικῶς τῶν ἀτυχούντων καταγελᾶν. ὁ δὲ Εὐριπίδης ὑπολαβὼν καὶ προσκύψας εἰς τὸ οὖς μοι, Ἀλλ' ὅρα τί λέγεις· ἀνεγείρεσθαι γὰρ ἤδη μαντεύομαι τὸν Ἀριστοφάνη. Ἀλλ' ὁράτω γε, ἦν δ' ἐγώ, ὁ Ἐμπεδοκλῆς. ἔτι δὲ τὸν φιλόσοφον φάναι αὐτὸν εἶναι τοῦτον οὗ ἡ ψυχὴ πάνυ ὀλίγας τῶν τοιούτων μετοικήσεων τότε πάθοι, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον ἀτεχνῶς ἡσυχάζουσα καὶ ἀκίνητος οὖσα διατελέσειεν, ὅσων δὲ καταγάγοι ὁ Ἑρμῆς τὰς ψυχάς, τούτους δή, ω Εὐριπίδη, τραγῳδοὺς γενέσθαι, ὅσοις δὲ αἱ ψυχαὶ πλείστων τε καὶ ἀτοπωτάτων ἀποπειρώμεναι τῶν συμπλοκῶν ἐς ὕειον εἶδος καὶ τραγοειδὲς καὶ κυνικὸν μετοικήσειαν τούτους εἶναι φάναι κωμῳδούς.

Καὶ τότε δὴ ἀνεγερθεὶς ὁ Ἀριστοφάνης καὶ ἀναπηδήσας, Ἆρα καθυβρίζεις, ἔφη, ἐμοῦ νυστάζοντος; σὺ δὲ ὗν καὶ τράγον καὶ κύνα ἀποκαλεῖς ἐμὲ καὶ ταῦτα τοῖς Διονυσίοις; τί δέ; οὐκ ἂν ἐξέλθοιτε; ἀλγῶ γὰρ τὴν κεφαλήν.

Ταῦτα δ' εἰπὼν ἐξήλασεν ἡμᾶς θύραζε.

Digitized by Google

Oxford
HORACE HART, PRINTER TO THE UNIVERSITY

Digitized by Google